Ἔτι πρὸ τοῦ λ. κυλίω. πλὴν τοῦ κηλῶ, κηλήτης, κηλίς, τῷ η. καὶ κοιλία, τῷ ι. καὶ κοῖλον τῇ οι. μέσον τὸ ι, κύλινδρος. πλὴν τοῦ κηλήτης, καὶ κυλήνη, τῷ η. καὶ τὸ μικρὸν, εἰμὴ ἀπὸ κλίσεως, ἢ κατὰ σύνθεσιν τὸ μέγα.

Ἔτι πρὸ τοῦ μ, κῦμα. πλὴν τοῦ κοιμῶμαι, τῇ οι. καὶ Κίμων, τῷ ι. καὶ κημὸς, τῷ η. μέσον τὸ ι. κύμινον.

Ἔτι πρὸ τοῦ ρ. κῦρος. πλὴν τοῦ κηρὸς, κήρινθος. κηρύττω, τῷ η. καὶ κιρνῶ, κίρνη, κίῤῥα, τῷ ι. καὶ κοίρανος, τῇ οι καὶ κείρω, τῇ ει. μέσον τὸ ι κήρινθος. πλὴν τοῦ κυρήνη, κυρήβια, τῷ η. καὶ κηρύσσω, τῷ υ.

Ἔτι πρὸ τοῦ φ, κυφός. πλὴν τοῦ κηφὴν, καὶ κηφισσὸς, τῷ η. μέσον τὸ ι.

Ἔτι πρὸ δισυμφώνου. κύσις πλὴν τοῦ κιγκλὶς, κίστη κίχλα, κισσὸς, τῷ ι. μέσον τὸ ε. κυψέλη.

Ἡ κλει, πρὸ μὲν φωνήεντος, ἢ θ, τῇ ει. κλεῖθρον, κλείω. ὅθεν κλοιὸς, τῇ οι καὶ πλὴν τοῦ κλύω, τῷ υ.

Πρὸ δὲ τοῦ ρ, καὶ σ, καὶ τ, τῷ η. πλὴν τῶν ἀπὸ τοῦ κλίνω, κλίσις, τῷ ι.

Πρὸ δὲ τοῦ β, καὶ μ, καὶ ν, τῷ ι. κλίβανος, κλίμα, κλίνη. πλὴν τοῦ κλῆμα τῆς ἀμπέλου, τῷ η. καὶ κλεινὸς, τῇ ει.

Πρὸ δὲ τοῦ δ, καὶ ζ, τῷ υ. κλύδων, κλύζω.

Ἡ κνη, πρὸ μὲν τοῦ μ, τῷ η. κνήμη. πρὸ δὲ τοῦ δ, καὶ κ καὶ σ, τῷ ι. κνίδη, κνίκος, κνίσσα. πρὸ δὲ τοῦ ζ, τῷ υ. κνυζᾶσθαι.